[6] Ἀλλὰ τῶν ἐν τῇ Λιβύῃ ἐν ἀδήλῳ κειμένων, ἐπιστρατεύει τῷ βασιλεῖ κατὰ τὴν Ῥάβενναν ὄντι.

[1] Τοῦ δὲ συνταραχθέντος τῷ δέει καὶ πρέσβεις ἐκπέμψαντος καὶ κοινὴν ἀμφοτέροις γενέσθαι τὴν βασιλείαν αἰτοῦντος, Ἰόβιος ὁ τῆς αὐλῆς ὕπαρχος παρὰ Ἀττάλου καθεστάμενος οὐδὲ ὄνομα καταλείψειν Ὀνωρίῳ βασιλείας ἔλεγεν Ἄτταλον, ἀλλ᾽οὐδὲ ὁλόκληρον ἐάσειν τὸ σῶμα, νῆσόν τε αὐτῷ δώσειν εἰς οἴκησιν, πρὸς τῷ καὶ μέρος αὐτῷ τι τοῦ σώματος καταστήσειν πεπηρωμένον. [2] Ἐκπλαγῶντων δῷ πάντων ἐπὶ τῇ τῶν λόγων ἀλαζονείᾳ, καὶ τοῦ βασιλέως Ὀνωρίου πρὸς φυγὴν ὄντος ἑτοίμου καὶ ἐπὶ τούτῳ πλῆθος πλοίων οὐ μέτριον εἰς τὸν τῆς Ῥαβέννης λιμένα συναγαγόντος, ἓξ τάγματα στρατιωτῶν προσωρμίσθησαν, πάλαι μῷν ἔτι περιόντος Στελίχωνος προσδοκώμενα, τότε δῷ πρὸς συμμαχίαν ἐκ τῆς ἑῴας παραγενόμενα, μυριάδων ἀριθμὸν ὄντα τεσσάρων. [3] Ἀνενεγκὼν δῷ ὥσπερ ἐκ κάρου βαθῶος Ὀνώριος τοῖς μὲν ἐκ τῆς ἑῴας ἀφιγμένοις τὴν τῶν τειχῶν ἐπίστευε φυλακήν, ἐγνώκει δὲ τέως ἐπιμεῖναι τῇ Ῥαβέννῃ, μέχρις ἂν ἀκριβέστερον τὰ κατὰ τὴν Λιβύην αὐτῷ δηλωθείη, καὶ εἰ μῷν Ἡρακλειανὸς ὑπέρτερος γένοιτο, τῶν αὐτόθι πραγμάτων ὄντων ἐν ἀσφαλεῖ παντὶ τῷ στρατεύματι πολεμεῖν Ἀττάλῳ καὶ Ἀλαρίχῳ, τῶν δὲ εἰς τὴν Λιβύην παρ᾽ αὐτοῦ πεμφθέντων ἐλαττωθέντων ταῖς οὔσαις αὐτῷ ναυσὶ πρὸς Θεοδόσιον εἰς τὴν ἑῴαν ἐκπλεῦσαι καὶ τῆς τῶν ἑσπερίων βασιλείας ἐκστῆναι.